καὶ φιλόπονος· ἡ γὰρ ψιλὴ γνῶσις, φυσιοῖ τὸν ἄνθρωπον:
Οἱ ἀπροσδοκήτως συμβαίνοντες ἡμῖν πειρασμοί, η
οἰκονομικῶς ἡμᾶς φιλοπόνους διδάσκουσι·
καὶ μὴ θέλοντας εἰς μετάνοιαν ἐλαύνουσιν:
Αἱ ἐπερχόμεναι θλίψεις τοῖς ἀνθρώποις, τῶν ἰδίων κακῶν θ
εἰσὶν ἔγγονα· ἐὰν δὲ αὐτὰς διὰ προσευχῆς ὑπο-
μένωμεν, εὑρήσομεν πάλιν ἀγαθῶν πραγμάτων
ἐπιφοράν: Τινὲς ἐπαινεθέντες, ι
ἥσθησαν· καὶ τὴν τῆς κενοδοξίας αὐτῶν ἡδονήν,
ἔδοξαν εἶναι παράκλησιν· ἕτεροι ἐφ' ἁμαρτίᾳ
ἐλεγχθέντες, ἐπόνησαν· καὶ τὸν ἐπωφελῆ πόνον,
ἐλογίσαντο εἶναι κακίας ἐνέργειαν: Ὅσοι προφάσει ια
ἀγώνων τῶν ἀμελεστέρων κατεπαίρονται, οὗτοι ἐξ ἔργων
σωματικῶν δικαιοῦσθαι νομίζουσιν· ὅσοι δὲ ἐ-
περειδόμενοι ψιλῇ τῇ γνώσει τοὺς ἀγνοοῦντας ἐξευ-
τελίζομεν, ἐκείνων πολὺ ἀφρονέστεροι τυγχάνομεν:
Εἰ τὸ τῶν καλῶν τὴν ἔργων ὑποβεβαιοῖ γνῶ- ιβ
σις καὶ ἀληθὴς τυγχάνει· διότι πάντων τῶν πραγμάτων,
τὸ ἔργον ἐστὶ βεβαίωσις: Πολλάκις ἐκ τῆς περὶ ιγ
τὴν πρᾶξιν ἀμελείας, καὶ ἡ γνῶσις σκοτίζεται· ὧν